Tekst 3

Eurycleia spreekt met Penelope over Odysseus.

"Maar ga mee, zodat in uw beider harten 't geluk zich
weer voor u uitstrekt, nadat u veel leed hebt moeten verduren.
Eindelijk is nu je diepste wens tot vervulling gekomen:
levend is hij terug in zijn huis en trof in zijn haardstee
jou en zijn zoon aan. En die hem onrecht aandeden, de vrijers,
heeft hij hier allen in zijn paleis voor hun zonden doen boeten."

Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
"Μαῖα φίλη, μή πω μέγ' ἐπεύχεο καγχαλόωσα.
Οἶσθα γὰρ ὥς κ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
πᾶσι, μάλιστα δ' ἐμοί τε καὶ υἱέϊ, τὸν τεκόμεσθα·
ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις,
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυούς,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα.
Οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο·
τῷ δι' ἀτασθαλίας ἔπαθον κακόν· αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ' αὐτός."

Τὴν δ' ἠμείβετ' ἔπειτα φίλη τροφὸς Εὐρύκλεια·
"Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
ἢ πόσιν ἔνδον ἐόντα παρ' ἐσχάρῃ οὔ ποτ' ἔφησθα
οἴκαδ' ἐλεύσεσθαι· θυμὸς δέ τοι αἰὲν ἄπιστος.
Ἀλλ' ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι εἴπω·
οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι,
τὴν ἀπονίζουσα φρασάμην, ἔθελον δὲ σοὶ αὐτῇ
εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶν
οὐκ ἔα εἰπέμεναι πολυκερδείῃσι νόοιο.
Ἀλλ' ἔπευ· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
αἴ κέν σ' ἐξαπάφω, κτεῖναί μ' οἰκτίστῳ ὀλέθρῳ."

Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·

81 “Μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
82 δήνεα εἴρυσθαι, μάλα περ πολύϊδριν ἐοῦσαν·
83 ἀλλ᾽ ἔμπης ἴομεν μετὰ παῖδ᾽ ἐμόν, ὄφρα ἴδωμαι
84 ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ᾽ ὃς ἔπεφνεν.”
85 Ὣς φαμένη κατέβαιν᾽ ὑπερώϊα· πολλὰ δέ οἱ κῆρ
86 ὅρμαιν᾽, ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,
87 ἦ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.

Homerus, Odyssee 23.52-87

Aantekeningen
regel 59 **καγχαλάω** luid juichen
regel 73 **ἀριφραδής** zeer duidelijk
regel 74 **ἡ οὐλή** litteken
regel 76 **ἡ μάσταξ** mond
regel 77 **ἡ πολυκερδείη** grote slimheid
regel 78 **περιδίδομαι** + *genitivus* wedden om
regel 79 **ἐξήπαφον** *aoristus van* **ἐξαπαφίσκω** bedriegen
regel 82 **τὰ δήνεα** plannen
πολύϊδρις verstandig